ἀρθ. ςιχ.

ἢ καὶ ῥοωδῶν ἀθρόῳ τινος ῥόῳ (ο)
τρύχουσαν, ἢ τρόχῳ τε τῷδ' ἠπειγμένῳ (π)·
ἐν τοῖς δε τήνδ' εἴωθα πραΰνειν ὅλως, λ. 654
ναρκοῦν τε πώποτ' ἀλλ' ὅπου δεῖ χὠπότε (ρ),
προεκστοβήσας πᾶν τὸ δρῶν τὰ τοιάδε,
ἢ κἀπιτρέψας τοῦδ' ἀκεσμοῦ τὸ πλέον
ὅπου γε τὸ δρῶν οὐδ' ἐνῆν κινεῖν ὅλως·
ἢ καὶ παρορμᾶν ἢ σθενοῦν οἶδ' ὡς ἔνι
τήνδ' ἐκλελυμένην τε καὶ παρειμένην· λ. 653
ἣν κἀπεγείρω νωθριῶσαν πολλάκις
ταχεῖαν εἰς ἔκκρουσιν αἰτίας νόσου.

ΛΕ. Ὧδ' οὖν ἀνιχνεύοντι πάντα τὰν φύσει (σ),
ὀρθῶς τ' ἀνακρίνοντι τὰν νόσοις ὅσα,
χ' οὕτω νοσηλεύοντι κάμνοντας τίς ἂν
πολλῶν τε χρεία ποικίλων τ' ᾖ φαρμάκων
συχνῶν τ' ἀκεσμῶν καὶ περιττῶν νὴ Δία;
ἐξὸν διαίτῃ κὠλιγίστοις φαρμάκοις (τ),
εἰλημμένοις γοῦν καιρίοις, πρός τ' αἰτίας λα. 678
προευτρεπισμένης τε καὶ πεπεμμένης --679
ἔκκρουσιν εὐθέτοισιν ἤτοι συμφόροις
νόσημ' ἀκεῖσθαι κἀσφαλῶς καὶ συντόμως.

τοῦ

---

(ο) Ἀφορ. Ε. γ. νζ. Ζ. θ. οθ. περὶ γυναικ. φύσ. ιγ. (π) ἐπιδ. Β. ς. Ζ. λα. Γαλ. περὶ τῶν ἐν τοῖς νοσήμ. αἰτ. Β. β. γ. (ρ) ἐπιδ. ς. β. (σ) Γαλ. περὶ κρισ. ἡμερ. α. (τ) περὶ τεχν. η. ἀρχ. Ἰητρ. κγ. τόπων τῶν κατ' ἄνθρ. νε.